**ἀντισπαστικὸν μονόμετρον ἀκατάληκτον**

Trich. 388. 25 sqq. ὑφίστανται δὲ ἐν τούτῳ τῷ μέτρῳ (*scil.* τῷ ἀντισπαστικῷ) μονόμετρά τε καὶ δίμετρα καὶ τρίμετρα καὶ τετράμετρα, καὶ μὴν καὶ πεντάμετρα, καταληκτικά, ἀκατάληκτα, ὑπερκατάληκτα· καὶ ταῦτα γὰρ ἀποθέσεις ἔχουσι τρεῖς, ὡς ἔφαμεν, διὰ τὸ ἐκ τετρασυλλάβων συγκεῖσθαι ποδῶν. μονόμετρον μὲν οὖν ἀκατάληκτον <καὶ> καταληκτικὸν οὐ δύναται ὑποστῆναι κατά γε ἐμὲ ἐν τῷ παρόντι μέτρῳ· συνεμπέσοι γὰρ ἄν τινι τῶν προρρηθέντων μέτρῳ· ἄλλως τε καὶ οὐδέ τις εὕρηται τῶν παλαιῶν τούτῳ χρησάμενος, οὐδ᾽ αὐτὸς ὁ Ἡφαιστίων μνημονεύει ὅλως τοιούτου τινός.

Schol. in Aesch. *Eum*. 141 (I, p. 90. 13 sqq. Smith) + ὁ παρὼν χορὸς συνέστηκεν ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σποράδην κειμένων ια′, κώλων δὲ ἀντισπαστικῶν μονομέτρων καὶ διμέτρων καὶ τριμέτρων καταληκτικῶν <καὶ> ἀκαταλήκτων καὶ βραχυκαταλήκτων κθ′, ὧν τελευταῖον· (v. 178)

> μιάστορ᾽ ἐκείνου πάσσεται.

Schol. in Aesch. *Eum*. 837 (I, p. 92. 21 sqq. Smith) + ἡ στροφὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶν ἀντισπαστικῶν διμέτρων βραχυκαταλήκτων καὶ καταληκτικῶν καὶ πενθημιμερῶν καὶ μονομέτρων καὶ τριμέτρων ια′.

Schol. Tricl. in Eur. *Or*. 1541-1542a (p. 83 de Faveri) τὸ δ΄ ἰαμβικὴ βάσις ἤτοι μονόμετρον· εἰ δὲ βούλει ἀντισπαστικὸν μονόμετρον.

Schol. rec. in Aristoph. *nub*. 1259. 3 sq. (p. 175 Koster) Tr$^2$ τὸ πρῶτον ἀντισπαστικὸν μονόμετρον ἀκατάληκτον.

Schol. rec. in Aristoph. *ran*. 398-415a. 28 (p. 78 Chantry) τὸ γ′ (v. 415) ʻκἄγωγε πρόςʼ ἀντισπαστικὸν μονόμετρον ἐξ ἀντισπάστου. [*P.S.*]